## GLAUCUS

### II

οὐ κόνις οὐδ᾽ ὀλίγον πέτρης βάρος, ἀλλ᾽ Ἐρασίππου
ἣν ἐσορᾷς αὕτη πᾶσα θάλασσα τάφος·
ὤλετο γὰρ σὺν νηί, τὰ δ᾽ ὀστέα ποῦ ποτ᾽ ἐκείνου
πύθεται αἰθυίαις γνωστὰ μόναις ἐνέπειν.

### III

— Νύμφαι, πευθομένῳ φράσατ᾽ ἀτρεκές, εἰ παροδεύων
Δάφνις τὰς λευκὰς ὧδ᾽ ἀνέπαυσ᾽ ἐρίφους.
— ναὶ ναί, Πὰν συρικτά, καὶ εἰς αἴγειρον ἐκείναν
σοί τι κατὰ φλοιοῦ γράμμ᾽ ἐκόλαψε λέγειν.
— "Πάν, Πάν, πρὸς Μαλέαν, πρὸς ὄρος Ψωφίδιον ἔρχευ·
ἵξοῦμαι." Νύμφαι χαίρετ᾽, ἐγὼ δ᾽ ὑπάγω.

## HEGEMON

### I

εἴποι τις παρὰ τύμβον ἰὼν ἀγέλαστος ὁδίτας
τοῦτ᾽ ἔπος· "ὀγδώκοντ᾽ ἐνθάδε μυριάδας
Σπάρτας χίλιοι ἄνδρες †ἐπέσχον αἷμα τὸ† Περσῶν
καὶ θάνον ἀστρεπτεί. Δώριος ἁ μελέτα."